1170

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΗΣ ΑΝΑΣΤΑΣΕΩΣ ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ

Μετὰ τοῦ Ἑσπερινοῦ καὶ τοῦ Ἱεροῦ Εὐαγγελίου εἰς ἐννέα γλώσσας: Ἑλληνικήν, εἰς Ἡρωϊκὸν ἑξάμετρον, εἰς μέτρον Ἰαμβρικόν, Ῥωσσικήν, Τουρκικήν, Ἀλβανικήν, Λατινικήν, Ἰταλικὴν καὶ Γαλλικήν.

ΔΑΠΑΝΗ

ΖΩΣΙΜΑ ΕΣΦΙΓΜΕΝΙΤΟΥ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΝ ΒΩΛΩ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΝΙΚΟΛΑΟΥ ΡΟΥΣΟΠΟΥΛΟΥ

(Ἀπέναντι ἁγίου Νικολάου)

— ο —

1893

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΗΣ

# ΑΝΑΣΤΑΣΕΩΣ

## ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ

# ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ.

## Τῌ ΑΓΙᾼ ΚΑΙ ΜΕΓΑΛῌ ΚΥΡΙΑΚῌ ΤΟΥ ΠΑΣΧΑ.

*Περὶ ὥραν ὄρθρου ὁ Ἱερεὺς μετὰ τοῦ Διακόνου λαμπροφοροῦσιν ἅπασαν τὴν ἱερατικὴν αὐτῶν στολὴν, καὶ ὁ μὲν Ἱερεὺς μετὰ ἠναμμένης λαμπάδος ἔρχεται εἰς τὴν ὡραίαν Πύλην, ψάλλων τό,*

Δεῦτε λάβετε φῶς ἐκ τοῦ ἀνεσπέρου φωτός· καὶ δοξάσατε Χριςὸν, τὸν ἀναστάντα ἐκ νεκρῶν.

*Εἶτα, λαβόντων, τοῦ μὲν Ἱερέως τὸ ἱερὸν Εὐαγγέλιον, τοῦ δὲ Διακόνου θυμιατήριον, καὶ κηρίων προπορευομένων αὐτῶν, ἀπέρχονται πάντες εἰς τὸν Νάρθηκα, κρατοῦντες τὰ κηρία ἠναμμένα καὶ ψάλλοντες τό,*

Τὴν Ἀνάστασίν σου Χριστὲ Σωτὴρ, Ἄγγελοι ὑμνοῦσιν ἐν Οὐρανοῖς· καὶ ἡμᾶς τοὺς ἐπὶ γῆς καταξίωσον, ἐν καθαρᾷ καρδίᾳ σὲ δοξάζειν.

*Καὶ ἐν μὲν τῷ Ναῷ, ἐναπομείνας μόνος ὁ κανδηλάπτης, ἅπτει τὰ κηρία πάντα, καὶ τὰς κανδήλας· καὶ ποιήσας πυρεῖον, καὶ βαλὼν εἰς αὐτὸ θυμίαμα, τίθησιν ἐν τῷ μέσῳ τοῦ Ναοῦ. Ἐν δὲ τῷ Νάρθηκι, προευτρεπισμένου ὄντος Τετραποδίου ἔμπροσθεν τῶν Βασιλικῶν Πυλῶν, οὐσῶν κεκλεισμένων, ἀποτίθησιν ὁ Ἱερεὺς ἐπ' αὐτοῦ τὸ ἱερὸν Εὐαγγέλιον, καὶ ἀναγινώσκει συνήθως τὸ δεύτερον Ἑωθινόν.*

Διαγενομένου τοῦ Σαββάτου ἢ « Ὀψὲ Σαββάτου τῇ ἐπιφωσκούσῃ κλπ.»

*Μετὰ ταῦτα, λαβὼν εἰς χεῖρας τὸ θυμιατήριον, καὶ θυμιῶν, λέγει.*

Δόξα τῇ ἁγίᾳ, καὶ ὁμοουσίῳ, καὶ ζωοποιῷ, καὶ ἀδιαιρέτῳ Τριάδι, πάντοτε· νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Καὶ ἡμῶν ἀποκρινομένων τό, Ἀμήν, ἄρχεται ὁ Ἱερεὺς μεγαλοφώνως τὸ παρὸν Τροπάριον, εἰς Ἦχον πλ. ά.*

## Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

*Λέγεται δὲ τοῦτο τρὶς ὑπὸ τοῦ Ἱερέως, καὶ τρὶς ὑπὸ τῶν Χορῶν, ἄνευ Στίχων. Εἶθ' οὕτω λέγει τοὺς ἑπομένους Στίχους ὁ Ἱερεύς, ἢ ὁ Διάκονος· καθ' ἕκαστον δὲ Στίχον, ψάλλεται ὁμοίως ὑπὸ τῶν Χορῶν τὸ αὐτὸ Τροπάριον.*

Στίχ. ά. Ἀναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.

Στίχ. β'. Ὡς ἐκλείπει καπνός, ἐκλειπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός.

Στίχ. γ'. Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ· καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν.

Στίχ. δ'. Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

*Δόξα. Χριστὸς ἀνέστη. Καὶ νῦν, (τὸ αὐτό.)*

*Εἶτα ὁ Ἱερεὺς γεγωνοτέρᾳ τῇ φωνῇ·*

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας·

*Ὁ Χορός.*

Καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

*Συναπτὴ μεγάλη· μεθ' ἣν ἐκφωνεῖ ὁ Ἱερεύς:*

Ὅτι πρέπει σοι πᾶσα δόξα, . . .

*Καὶ ἀνοιχθεισῶν τῶν πυλῶν, εἰσοδεύει ὅ,τε Ἱερεὺς καὶ ὁ Διάκονος, προπορευομένων πάλιν τῶν λαμπάδων. Ὁ δὲ Προεστώς, ἑφεπόμενος μετὰ τῶν Ἀδελφῶν, ἄρχεται τοῦ Κανόνος. Ψάλλονται δὲ οἱ μὲν Εἱρμοὶ ὑπ' ἀμφοτέρων τῶν Χορῶν. Ποιεῖ δὲ τὴν ἔναρξιν τοῦ Κανόνος ἐξάπαντος ὁ Προεστώς, καὶ αὐτὸ τὸ δεξιὸν τοῦ Χοροῦ μέρος, εἰ καὶ τὸ ἀριστερὸν ἴσως λαγχάνῃ· ἀπὸ*



*γὰρ ταύτης τῆς ἡμέρας γίνεται ἡ ἀρχὴ τοῦ μερισμοῦ τῆς τῶν δύω Χορῶν ἐνάρξεως. Ἐν ἑκάστῃ δὲ ᾠδῇ γίνεται παρὰ τοῦ Ἱερέως, ἔσωθεν τοῦ Βήματος, Συναπτὴ μικρά, καὶ μετ' αὐτὴν Ἐκφώνησις, ὡς σημειοῦται ἐν τοῖς ἑφεξῆς. Ὁ δὲ Ἱερεὺς θυμιᾷ, εἰς τὴν ἔναρξιν τοῦ Κανόνος, κατὰ τὴν τάξιν. Ὁ Κανὼν ποίημα Ἰωάννου τοῦ Δαμασκηνοῦ.*

Ὠδὴ ά. Ἦχος ά. *Ὁ Εἱρμός.*

«Ἀναστάσεως ἡμέρα, λαμπρυνθῶμεν Λαοί· Πάσχα Κυρίου, «Πάσχα· ἐκ γὰρ θανάτου πρὸς ζωήν, καὶ ἐκ γῆς πρὸς οὐ«ρανόν, Χριστὸς ὁ Θεός, ἡμᾶς διεβίβασεν, ἐπινίκιον ᾄδοντας.

Καθαρθῶμεν τὰς αἰσθήσεις, καὶ ὀψόμεθα τῷ ἀπροσίτῳ φωτὶ τῆς ἀναστάσεως, Χριστὸν ἐξαστράπτοντα, καί, Χαίρετε, φάσκοντα, τρανῶς ἀκουσόμεθα, ἐπινίκιον ᾄδοντες.

Οὐρανοὶ μὲν ἐπαξίως εὐφραινέσθωσαν, γῆ δὲ ἀγαλλιάσθω, ἑορταζέτω δὲ κόσμος, ὁρατός τε ἅπας καὶ ἀόρατος· Χριστὸς γὰρ ἐγήγερται, εὐφροσύνη αἰώνιος.

Καταβασία. *Ἀναστάσεως ἡμέρα* Τό, *Χριστὸς ἀνέστη,* γ'. Τό, *Ἀναστὰς ὁ Ἰησοῦς,* ἅπαξ. (ἅπερ λέγονται εἰς ὅλας τὰς ᾠδάς.) Εἶτα. Συναπτὴ μικρά· μεθ' ἣν Ἐκφώνησις: *Ὅτι σὸν τὸ κράτος.*

Ὠδὴ γ'. *Ὁ Εἱρμός.*

«Δεῦτε πόμα πίωμεν καινόν, οὐκ ἐκ πέτρας ἀγόνου τερα«τουργούμενον, ἀλλ' ἀφθαρσίας πηγήν, ἐκ τάφου ὀμβρή«σαντος Χριστοῦ, ἐν ᾧ στερεούμεθα.»

Νῦν πάντα πεπλήρωται φωτός, οὐρανός τε καὶ γῆ καὶ τὰ καταχθόνια· ἑορταζέτω γοῦν πᾶσα κτίσις, τὴν Ἔγερσιν Χριστοῦ, ἐν ᾗ ἐστερέωται.

Χθὲς συνεθαπτόμην σοι Χριστέ, συνεγείρομαι σήμερον ἀναστάντι σοι· συνεσταυρούμην σοι χθές, αὐτός με συνδόξασον Σωτήρ, ἐν τῇ βασιλείᾳ σου.

Καταβασία. *Δεῦτε πόμα πίωμεν . . .*

Ἐκφώνησις. *Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν . . .*

*Ἡ Ὑπακοή.* Ἦχος δ'.

Προλαβοῦσαι τὸν ὄρθρον αἱ περὶ Μαριάμ, καὶ εὑροῦσαι τὸν λίθον ἀποκυλισθέντα τοῦ μνήματος, ἤκουον ἐκ τοῦ Ἀγγέ-

*

λου· Τὸν ἐν φωτὶ ἀϊδίῳ ὑπάρχοντα, μετὰ νεκρῶν τί ζητεῖτε ὡς ἄνθρωπον; βλέπετε τὰ ἐντάφια σπάργανα· δράμετε, καὶ τῷ κόσμῳ κηρύξατε, ὡς ἠγέρθη ὁ Κύριος, θανατώσας τὸν θάνατον· ὅτι ὑπάρχει Θεοῦ Υἱὸς, τοῦ σῴζοντος τὸ γένος τῶν ἀνθρώπων. (Καὶ ἀνάγνωσις εἰς τὸν Θεολόγον.)

Ὠδὴ δ'. *Ὁ Εἱρμός.*

«Ἐπὶ τῆς θείας φυλακῆς, ὁ θεηγόρος Ἀββακοὺμ, στήτω «μεθ' ἡμῶν καὶ δεικνύτω φαεσφόρον Ἄγγελον, διαπρυσίως «λέγοντα· Σήμερον σωτηρία τῷ κόσμῳ, ὅτι ἀνέστη Χριστὸς «ὡς παντοδύναμος.»

Ἄρσεν μὲν, ὡς διανοῖξαν, τὴν παρθενεύουσαν νηδὺν, πέφηνε Χριστός· ὡς βροτὸς δὲ, ἀμνὸς προσηγόρευται· ἄμωμος δὲ, ὡς ἄγευστος κηλῖδος, τὸ ἡμέτερον Πάσχα· καὶ ὡς Θεὸς ἀληθὴς, τέλειος λέλεκται.

Ὡς ἐνιαύσιος ἀμνὸς, ὁ εὐλογούμενος ἡμῖν, στέφανος χρηστὸς ἑκουσίως, ὑπὲρ πάντων τέθυται, Πάσχα τὸ καθαρτήριον· καὶ αὖθις ἐκ τοῦ τάφου ὡραῖος, δικαιοσύνης ἡμῖν ἔλαμψεν Ἥλιος.

Ὁ θεοπάτωρ μὲν Δαυῒδ, πρὸ τῆς σκιώδους κιβωτοῦ, ἥλατο σκιρτῶν· ὁ λαὸς δὲ τοῦ Θεοῦ ὁ ἅγιος, τὴν τῶν συμβόλων ἔκβασιν, ὁρῶντες εὐφρανθῶμεν ἐνθέως, ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.

Καταβασία. *Ἐπὶ τῆς θείας φυλακῆς . . .*
Ἐκφώνησις. *Ὅτι ἀγαθὸς . . .*
Ὠδὴ ε'. *Ὁ Εἱρμός.*

«Ὀρθρίσωμεν ὄρθρου βαθέος, καὶ ἀντὶ μύρου τὸν ὕμνον «προσοίσωμεν τῷ Δεσπότῃ, καὶ Χριστὸν ὀψόμεθα, δικαιοσύ- «νης ἥλιον, πᾶσι ζωὴν ἀνατέλλοντα.»

Τὴν ἄμετρόν σου εὐσπλαγχνίαν, οἱ ταῖς τοῦ ᾅδου σειραῖς, συνεχόμενοι δεδορκότες, πρὸς τὸ φῶς ἠπείγοντο Χριστὲ, ἀγαλλομένῳ ποδὶ, Πάσχα κροτοῦντες αἰώνιον.

Προσέλθωμεν λαμπαδηφόροι, τῷ προϊόντι Χριστῷ ἐκ τοῦ μνήματος, ὡς νυμφίῳ, καὶ συνεορτάσωμεν, ταῖς φιλεόρτοις τάξεσι, Πάσχα Θεοῦ τὸ σωτήριον.

Καταβασία. *Ὀρθρίσωμεν....*



Ἐκφώνησις. *Ὅτι ἡγίασται....*
Ὠδὴ ς'. *Ὁ Εἱρμός.*

«Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς, καὶ συνέτριψας «μοχλοὺς αἰωνίους, κατόχους πεπεδημένων Χριστὲ, καὶ «τριήμερος, ὡς ἐκ κήτους Ἰωνᾶς, ἐξανέστης τοῦ τάφου.»

Φυλάξας τὰ σήμαντρα σῶα Χριστὲ, ἐξηγέρθης τοῦ τάφου, ὁ τὰς κλεῖς τῆς Παρθένου μὴ λυμηνάμενος, ἐν τῷ τόκῳ σου, καὶ ἀνέῳξας ἡμῖν, Παραδείσου τὰς πύλας.

Σῶτέρ μου τὸ ζῶν τε καὶ ἄθυτον, ἱερεῖον ὡς Θεὸς, σεαυτὸν ἑκουσίως, προσαγαγὼν τῷ Πατρὶ, συνανέστησας, παγγενῆ τὸν Ἀδὰμ, ἀναστὰς ἐκ τοῦ τάφου.

Καταβασία. *Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς ...*
Ἐκφώνησις. *Σὺ γὰρ εἶ ὁ βασιλεὺς....*
*Κοντάκιον.* Ἦχος πλ. δ.

Εἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ ᾅδου καθεῖλες τὴν δύναμιν· καὶ ἀνέστης ὡς νικητὴς, Χριστὲ ὁ Θεὸς, Γυναιξὶ Μυροφόροις φθεγξάμενος, Χαίρετε, καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος, ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν. Ὁ Οἶκος.

Τὸν πρὸ ἡλίου ἥλιον δύναντα ποτὲ ἐν τάφῳ, προέφθασαν πρὸς ὄρθρον, ἐκζητοῦσαι ὡς ἡμέραν, Μυροφόροι κόραι, καὶ πρὸς ἀλλήλας ἐβόων· Ὦ φίλαι, δεῦτε τοῖς ἀρώμασιν ὑπαλείψωμεν σῶμα ζωηφόρον καὶ τεθαμμένον, σάρκα ἀνιστῶσαν τὸν παραπεσόντα Ἀδὰμ, κείμενον ἐν τῷ μνήματι. Ἄγωμεν, σπεύσωμεν, ὥσπερ οἱ Μάγοι, καὶ προσκυνήσωμεν, καὶ προσκομίσωμεν τὰ μύρα ὡς δῶρα, τῷ μὴ ἐν σπαργάνοις, ἀλλ' ἐν σινδόνι, ἐνειλημένῳ· καὶ κλαύσωμεν, καὶ κράξωμεν· Ὦ Δέσποτα, ἐξεγέρθητι, ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

*Συναξάριον τοῦ Μηναίου, εἶτα τὸ παρόν.*

Τῇ ἁγίᾳ καὶ μεγάλῃ Κυριακῇ τοῦ Πάσχα, αὐτὴν τὴν ζωηφόρον Ἀνάστασιν ἑορτάζομεν τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

(Στίχοι) Χριστὸς κατελθὼν πρὸς πάλην ᾅδου μόνος,
Λαβὼν ἀνῆλθε πολλὰ τῆς νίκης σκῦλα.

Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ εὐθύς, *Ἀνάστασιν Χριστοῦ θεασάμενοι*, γ'. *Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου*, γ'. Εἶτα τὰς λοιπὰς ᾠδὰς τοῦ Κανόνος.

*Ὠδὴ ζ'.* *Ὁ Εἱρμός*

« Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος, γενόμενος ἄνθρωπος, « πάσχει ὡς θνητὸς καὶ διὰ πάθους τὸ θνητὸν ἀφθαρσίας « ἐνδύει εὐπρέπειαν, ὁ μόνος εὐλογητὸς τῶν Πατέρων Θεὸς « καὶ ὑπερένδοξος.»

Γυναῖκες μετὰ μύρων θεόφρονες, ὀπίσω σου ἔδραμον· ὃν δὲ ὡς θνητὸν, μετὰ δακρύων ἐζήτουν, προσεκύνησαν, χαίρουσαι ζῶντα Θεὸν, καὶ Πάσχα τὸ μυστικὸν, σοῖς Χριστὲ Μαθηταῖς εὐηγγελίσαντο.

Θανάτου ἑορτάζομεν νέκρωσιν, ᾅδου τὴν καθαίρεσιν, ἄλλης βιοτῆς, τῆς αἰωνίου ἀπαρχήν, καὶ σκιρτῶντες ὑμνοῦμεν τὸν αἴτιον, τὸν μόνον εὐλογητὸν τῶν Πατέρων, Θεὸν καὶ ὑπερένδοξον.

Ὡς ὄντως ἱερὰ καὶ πανέορτος, αὕτη ἡ σωτήριος, νὺξ καὶ φωταυγής, τῆς λαμπροφόρου ἡμέρας τῆς ἐγέρσεως οὖσα προάγγελος, ἐν ᾗ τὸ ἄχρονον φῶς, ἐκ τάφου σωματικῶς, πᾶσιν ἐπέλαμψεν.

Καταβασία. *Ὁ Παῖδας ἐκ καμίνου . . .*

Ἐκφώνησις. *Εἴη τὸ κράτος . . .*

*Ὠδὴ η'.* *Ὁ Εἱρμός*

« Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, ἡ μία τῶν Σαββάτων, ἡ « βασιλὶς καὶ κυρία, ἑορτῶν ἑορτὴ, καὶ πανήγυρίς ἐστι πα« νηγύρεων, ἐν ᾗ εὐλογοῦμεν Χριστὸν εἰς τοὺς αἰῶνας.

Δεῦτε τοῦ κοινοῦ τῆς ἀμπέλου γεννήματος, τῆς θείας εὐφροσύνης, ἐν τῇ εὐσήμῳ ἡμέρᾳ τῆς ἐγέρσεως, βασιλείας τε Χριστοῦ κοινωνήσωμεν, ὑμνοῦντες αὐτὸν, ὡς Θεὸν εἰς τοὺς αἰῶνας.

Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου Σιὼν καὶ ἴδε· ἰδοὺ γὰρ ἥκασί σοι θεοφεγγεῖς ὡς φωστῆρες, ἐκ δυσμῶν, καὶ βοῤῥᾶ, καὶ θαλάσσης, καὶ ἑῴας τὰ τέκνα σου, ἐν σοὶ εὐλογοῦντα, Χριστὸν εἰς τοὺς αἰῶνας.



Πάτερ παντοκράτορ, καὶ Λόγε, καὶ Πνεῦμα, τρισὶν ἑνιζομένη, ἐν ὑποστάσεσι φύσις, ὑπερούσιε καὶ ὑπέρθεε, εἰς σὲ βεβαπτίσμεθα, καὶ σὲ εὐλογοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Καταβασία. *Αὕτη ἡ κλητὴ . . .*

Ἐκφώνησις. *Ὅτι εὐλόγηται.....*

*Ὠδὴ θ'.* *Ὁ Εἱρμός.*

## Μεγαλυνάρια

Μεγάλυνον ψυχή μου τὸν ἐξαναστάντα τριήμερον ἐκ τάφου, Χριστὸν τὸν ζωοδότην.

« Φωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ· ἡ γὰρ δόξα Κυ«ρίου, ἐπὶ σὲ ἀνέτειλε. Χόρευε νῦν, καὶ ἀγάλλου Σιών· σὺ «δὲ ἁγνὴ, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ Τόκου σου.

Μεγάλυνον ψυχή μου, τὸν ἐθελουσίως παθόντα καὶ ταφέντα, καὶ ἐξαναστάντα τριήμερον ἐκ τάφου.

Φωτίζου, φωτίζου . . .

Χριστὸς τὸ κοινὸν Πάσχα, τὸ ζωόθυτον θῦμα, ἀμνὸς Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν κόσμου.

Ὢ θείας ! ὢ φίλης ! ὢ γλυκυτάτης σου φωνῆς ! μεθ' ἡμῶν ἀψευδῶς γὰρ, ἐπηγγείλω ἔσεσθαι, μέχρι τερμάτων αἰῶνος Χριστέ· ἣν οἱ πιστοὶ, ἄγκυραν ἐλπίδος, κατέχοντες ἀγαλλόμεθα.

Μαγδαληνὴ Μαρία, προσέδραμε τῷ τάφῳ, καὶ τὸν Χριστὸν ἰδοῦσα, ὡς κηπουρὸν ἠρώτα.

Ὢ θείας! ὢ φίλης! . . .

Ἄγγελος ἐξαστράπτων, ταῖς γυναιξὶν ἐβόα· παύσασθε τῶν δακρύων, ὅτι Χριστὸς ἀνέστη, καὶ ᾅδης ἐσκυλεύθη.

Ὢ Πάσχα τὸ μέγα, καὶ ἱερώτατον Χριστὲ, ὢ σοφία καὶ Λόγε, τοῦ Θεοῦ καὶ δύναμις, δίδου ἡμῖν ἐκτυπώτερον, σοῦ μετασχεῖν ἐν τῇ ἀνεσπέρῳ ἡμέρᾳ τῆς βασιλείας σου.

Ἐξύπνησας ὑπνώσας, νεκροὺς τοὺς ἀπ' αἰῶνος, βασιλικῶς βρυχήσας, ὡς ἐξ Ἰούδα λέων.

Ὢ πάσχα τὸ μέγα . . .

Σήμερον ὁ Δεσπότης, ἐσκύλευσε τὸν ᾅδην, ἐγείρας τοὺς δεσμίους, οὓς ἀπ' αἰῶνας εἶχε, δεινῶς κεκρατημένους.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

*Δόξα.*

Μεγάλυνον ψυχή μου, τῆς Τρισυποστάτου, καὶ ἀδιαιρέτου Θεότητος τὸ κράτος.

Ὦ θείας! ὢ φίλης! . . .

*Καὶ νῦν.*

Χαῖρε Παρθένε χαῖρε, χαῖρε εὐλογημένη, χαῖρε δεδοξασμένη· σὸς γὰρ Υἱὸς ἀνέστη τριήμερος ἐκ τάφου.

Ὦ πάσχα τὸ μέγα . . .

Ὁ Ἄγγελος ἐβόα τῇ κεχαριτωμένῃ· ἁγνὴ Παρθένε χαῖρε, καὶ πάλιν ἐρῶ χαῖρε, σὸς γὰρ Υἱὸς ἀνέστη τριήμερος ἐκ τάφου,

Καταβασία. *Φωτίζου φωτίζου . . .*
Ἐκφώνησις. *Ὅτι σὲ αἰνοῦσι...*
*Ἐξαποστειλάριον, αὐτόμελον.* Ἦχος β΄.

Σαρκὶ ὑπνώσας ὡς θνητός, ὁ Βασιλεὺς καὶ Κύριος, τριήμερος ἐξανέστης, Ἀδὰμ ἐγείρας ἐκ φθορᾶς, καὶ καταργήσας θάνατον· Πάσχα τῆς ἀφθαρσίας τοῦ κόσμου σωτήριον. Ἐκ γ΄.

*Εἰς τοὺς Αἴνους, ἱστῶμεν Στίχ. η΄. καὶ ψάλλομεν Στιχηρὰ Ἀναστάσιμα τῆς Ὀκτωήχου, δ΄. καὶ τοῦ Πάσχα δ΄.*

*Τῆς Ὀκτωήχου.* Ἦχος α΄. ἀρχόμεθα δὲ ἀπὸ τοῦ Στίχ. *Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ.*

Ὑμνοῦμέν σου Χριστέ, τὸ σωτήριον Πάθος, καὶ δοξάζομέν σου τὴν Ἀνάστασιν.

Ὁ σταυρὸν ὑπομείνας, καὶ τὸν θάνατον καταργήσας, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, εἰρήνευσον ἡμῶν τὴν ζωήν, Κύριε, ὡς μόνος παντοδύναμος.

Ὁ τὸν ᾅδην σκυλεύσας, καὶ τὸν ἄνθρωπον ἀναστήσας, τῇ Ἀναστάσει σου, Χριστέ, ἀξίωσον ἡμᾶς, ἐν καθαρᾷ καρδίᾳ, ὑμνεῖν καὶ δοξάζειν σε.

Τὴν θεοπρεπῆ σου συγκατάβασιν δοξάζοντες ὑμνοῦμέν σε, Χριστέ. Ἐτέχθης ἐκ Παρθένου, καὶ ἀχώριστος ὑπῆρχες τῷ Πατρί. Ἔπαθες ὡς ἄνθρωπος, καὶ ἑκουσίως ὑπέμεινας σταυρόν. Ἀνέστης ἐκ τοῦ τάφου, ὡς ἐκ παστάδος προελθών, ἵνα σώσῃς τὸν κόσμον. Κύριε, δόξα σοι.

*Εἶτα τὰ Στιχηρὰ τοῦ Πάσχα μετὰ τῶν Στίχ. αὐτῶν.* Ἦχος πλ. α΄.



Στίχ. *Ἀναστήτω ὁ Θεός.....*

Πάσχα ἱερὸν ἡμῖν σήμερον ἀναδέδεικται· Πάσχα καινόν, ἅγιον· Πάσχα μυστικόν· Πάσχα πανσεβάσμιον· Πάσχα, Χριστὸς ὁ λυτρωτής· Πάσχα ἄμωμον· Πάσχα μέγα· Πάσχα τῶν πιστῶν· Πάσχα, τὸ πύλας ἡμῖν τοῦ Παραδείσου ἀνοῖξαν· Πάσχα, πάντας ἁγιάζον πιστούς.

Στίχ. *Ὡς ἐκλείπει καπνός....*

Δεῦτε ἀπὸ θέας Γυναῖκες εὐαγγελίστριαι, καὶ τῇ Σιὼν εἴπατε. Δέχου παρ' ἡμῶν χαρᾶς εὐαγγέλια, τῆς Ἀναστάσεως Χριστοῦ· τέρπου, χόρευε, καὶ ἀγάλλου Ἱερουσαλήμ, τὸν Βασιλέα Χριστὸν θεασαμένη ἐκ τοῦ μνήματος, ὡς νυμφίον προερχόμενον.

Στίχ. *Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοί....*

Αἱ Μυροφόροι Γυναῖκες, ὄρθρου βαθέος, ἐπιστᾶσαι πρὸς τὸ μνῆμα τοῦ Ζωοδότου, εὗρον Ἄγγελον, ἐπὶ τὸν λίθον καθήμενον, καὶ αὐτὸς προσφθεγξάμενος, αὐταῖς οὕτως ἔλεγε· Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; τί θρηνεῖτε τὸν ἄφθαρτον ὡς ἐν φθορᾷ; ἀπελθοῦσαι κηρύξατε τοῖς ἑαυτοῦ Μαθηταῖς.

Στίχ. *Αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν....*

Πάσχα τὸ τερπνόν· Πάσχα Κυρίου, Πάσχα· Πάσχα πανσεβάσμιον ἡμῖν ἀνέτειλε· Πάσχα, ἐν χαρᾷ ἀλλήλους περιπτυξώμεθα· ὢ Πάσχα λύτρον λύπης· καὶ γὰρ ἐκ τάφου σήμερον, ὥσπερ ἐκ παστοῦ, ἐκλάμψας Χριστός, τὰ Γύναια χαρᾶς ἔπλησε λέγων· Κηρύξατε Ἀποστόλοις.

*Δόξα, καὶ νῦν.* Ἦχος ὁ αὐτός.

Ἀναστάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει, καὶ ἀλλήλους περιπτυξώμεθα. Εἴπωμεν ἀδελφοί, καὶ τοῖς μισοῦσιν ἡμᾶς· Συγχωρήσωμεν πάντα τῇ Ἀναστάσει, καὶ οὕτω βοήσωμεν· Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Εἶτα τό, *Χριστὸς ἀνέστη*, ἐκ τρίτου, καὶ ψάλλομεν τοῦτο πολλάκις ἄχρις ἂν ἀσπάσωνται οἱ Ἀδελφοὶ ἀλλήλους· ὁ δὲ ἀσπασμὸς γίνεται οὕτω.

Λαμβάνει ὁ Ἱερεὺς τὸ ἅγιον Εὐαγγέλιον, καὶ ἵσταται πρὸ τῶν θυρῶν τοῦ ἁγίου Βήματος· ὁ δὲ Προεστὼς ἐλθών, καὶ ἀσπασάμενος

τὸ ἅγιον Εὐαγγέλιον καὶ τὸν Ἱερέα, λαμβάνει αὐτὸ ἐκ τῶν χειρῶν αὐτοῦ, καὶ ἵσταται ἐκ δεξιῶν τοῦ Ἱερέως.

Εἶτα οἱ Ἀδελφοὶ πάντες, κατὰ τὴν τάξιν αὐτῶν, ἀσπάζονται πρῶτον τὸ ἅγιον Εὐαγγέλιον, εἶτα τὸν Ἱερέα, καὶ τὸν Προεστῶτα, ἵστανται κἀκεῖνοι ἔνθα ἂν τύχωσι, καὶ ἀσπάζονται ἀλλήλους.

Μετὰ δὲ τὸν ἀσπασμὸν, ἀναγινώσκεται ὁ κατηχητικὸς Λόγος τοῦ Χρυσοστόμου παρὰ τοῦ Προεστῶτος, ἢ τοῦ Ἐκκλησιάρχου· ἵστανται δὲ οἱ Ἀδελφοὶ ἅπαντες, καὶ ἐπακροῶνται τῆς ἀναγνώσεως.

Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου, Λόγος κατηχητικὸς εἰς τὴν ἁγίαν καὶ λαμπροφόρον ἡμέραν τῆς ἐνδόξου καὶ σωτηριώδους Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Ἀναστάσεως.

*Εὐλόγησον Δέσποτα.*

Εἴ τις εὐσεβὴς καὶ φιλόθεος, ἀπολαυέτω ταύτης τῆς καλῆς καὶ λαμπρᾶς πανηγύρεως. Εἴ τις δοῦλος εὐγνώμων, εἰσελθέτω χαίρων εἰς τὴν χαρὰν τοῦ Κυρίου αὐτοῦ. Εἴ τις ἔκαμε νηστεύων, ἀπολαυέτω νῦν τὸ δηνάριον. Εἴ τις ἀπὸ τῆς πρώτης ὥρας εἰργάσατο, δεχέσθω σήμερον τὸ δίκαιον ὄφλημα. Εἴ τις μετὰ τὴν τρίτην ἦλθεν, εὐχαρίστως ἑορτασάτω. Εἴ τις μετὰ τὴν ἕκτην ἔφθασε, μηδὲν ἀμφιβαλέτω· καὶ γὰρ οὐδὲν ζημιοῦται. Εἴ τις ὑστέρησεν εἰς τὴν ἐννάτην προσελθέτω, μηδὲν ἐνδοιαζων. Εἴ τις εἰς μόνην ἔφθασε τὴν ἐνδεκάτην, μὴ φοβηθῇ τὴν βραδύτητα· φιλότιμος γὰρ ὢν ὁ Δεσπότης δέχεται τὸν ἔσχατον, καθάπερ καὶ τὸν πρῶτον. Ἀναπαύει τὸν τῆς ἐνδεκάτης, ὡς τὸν ἐργασάμενον ἀπὸ τῆς πρώτης· καὶ τὸν ὕστερον ἐλεεῖ, καὶ τὸν πρῶτον θεραπεύει· κἀκείνῳ δίδωσι, καὶ τούτῳ χαρίζεται· καὶ τὰ ἔργα δέχεται, καὶ τὴν γνώμην ἀσπάζεται· καὶ τὴν πρᾶξιν τιμᾷ, καὶ τὴν πρόθεσιν ἐπαινεῖ. Οὐκοῦν εἰσέλθετε πάντες εἰς τὴν χαρὰν τοῦ Κυρίου ἡμῶν· καὶ πρῶτοι καὶ δεύτεροι τὸν μισθὸν ἀπολαύετε. Πλούσιοι καὶ πένητες, μετ' ἀλλήλων χορεύσατε· Ἐγκρατεῖς καὶ ῥάθυμοι, τὴν ἡμέραν τιμήσατε. Νηστεύσαντες καὶ μὴ νηστεύσαντες, εὐφράνθητε σήμερον. Ἡ τράπεζα γέμει, τρυφήσατε πάντες. Ὁ μόσχος πολὺς, μηδεὶς ἐξέλθῃ πεινῶν. Πάντες ἀπολαύετε τοῦ συμποσίου τῆς πίστεως. Πάντες αὐπολαύσατε τοῦ πλούτου τῆς χρηστότητος. Μηδεὶς θρηνείτω πενίαν· ἐφάνη γὰρ ἡ κοινὴ βασιλεία. Μηδεὶς ὀδυρέσθω πταίσματα· συγγνώμη γὰρ ἐκ τοῦ τάφου ἀνέτειλε. Μηδεὶς φοβείσθω θανατον· ἠλευθέρωσε γὰρ ἡμᾶς ὁ τοῦ Σωτῆρος θάνατος. Ἔσβεσεν αὐτὸν, ὑπ' αὐτοῦ κατεχέμενος. Ἐσκύλευσε τὸν ᾅδην, ὁ κατελθὼν εἰς τὸν ᾅδην. Ἐπίκρανεν αὐτὸν, γευσάμενος τῆς σαρκὸς αὐτοῦ· καὶ τοῦτο προλαβὼν Ἡσαΐας ἀνεβόησεν· Ὁ ᾅδης, φησὶν, ἐπικράνθη, συναντήσας σοι κάτω.



Ἐπικράνθη, καὶ γὰρ κατηργήθη. Ἐπικράνθη, καὶ γὰρ ἐνεπαίχθη. Ἐπικράνθη, καὶ γὰρ ἐνεκρώθη. Ἐπικράνθη, καὶ γὰρ καθῃρέθη. Ἐπικράνθη, καὶ γὰρ ἐδεσμεύθη. Ἔλαβε σῶμα, καὶ Θεῷ περιέτυχεν. Ἔλαβε γῆν, καὶ συνήντησεν οὐρανῷ. Ἔλαβεν, ὅπερ ἔβλεπε, καὶ πέπτωκεν, ὅθεν οὐκ ἔβλεπε. Ποῦ σου θάνατε τὸ κέντρον; ποῦ σου ᾅδη τὸ νῖκος; Ἀνέστη Χριστὸς, καὶ σὺ καταβέβλησαι. Ἀνέστη Χριστὸς, καὶ πεπτώκασι δαίμονες. Ἀνέστη Χριστὸς, καὶ χαίρουσιν Ἄγγελοι. Ἀνέστη Χριστὸς, καὶ ζωὴ πολιτεύεται. Ἀνέστη Χριστὸς, καὶ νεκρὸς οὐδεὶς ἐπὶ μνήματος. Χριστὸς γὰρ ἐγερθεὶς ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο. Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν,

Εἶτα ψάλλομεν τὸ Τροπάριον τοῦ Ἁγίου. Ἦχος πλ. δ'.

Ἡ τοῦ στόματός σου καθάπερ πυρσὸς ἐκλάμψασα χάρις, τὴν οἰκουμένην ἐφώτισεν, ἀφιλαργυρίας τῷ κόσμῳ θησαυροὺς ἐναπέθετο, τὸ ὕψος ἡμῖν τῆς ταπεινοφροσύνης ὑπέδειξεν. Ἀλλὰ σοῖς λόγοις παιδεύων, Πάτερ Ἰωάννη Χρυσόστομε πρέσβευε τῷ λόγῳ Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἐκτενὴς παρὰ τοῦ Ἱρέως καὶ Ἀπόλυσις.

---

## ΕΙΔΗΣΙΣ.

Δεῖ εἰδέναι, ὅτι ἀπὸ ταύτης τῆς ἡμέρας τῆς ἁγίας καὶ μεγάλης Κυριακῆς τοῦ Πάσχα, μέχρι τοῦ Σαββάτου τῆς Διακαινησίμου, αἱ Ὧραι, τὰ Ἀπόδειπνα, καὶ τὸ Μεσονυκτικὸν, ψάλλονται οὕτω. Μετὰ τὸ εὐλογητὸν, Χριστὸς ἀνέστη ἐκ νεκρῶν, ἐκ γ'. Εἶτα.

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν Ἅγιον, Κύριον, Ἰησοῦν τὸν μόνον ἀναμάρτητον. Τὸν σταυρόν σου, Χριστὲ, προσκυνοῦμεν, καὶ τὴν ἁγίαν σου Ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν· σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, ἐκτὸς σου ἄλλον οὐκ οἴδομεν, τὸ ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοὶ, προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν Ἀνάστασιν. ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ, χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. Διὸ παντὸς εὐλογοῦντος τὸν Κύριον, ὑμνοῦμεν τὴν Ἀνάστασιν αὐτοῦ. Σταυρὸν γὰρ ὑπομείνας δι' ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν. Ἐκ τρίτου.

Προλαβοῦσαι τὸν ὄρθρον αἱ περὶ Μαριὰμ, καὶ εὑροῦσαι τὸν λίθον ἀποκυλισθέντα τοῦ μνήματος, ἤκουον ἐκ τοῦ Ἀγγέ-

λου· Τὸν ἐν φωτὶ ἀϊδίῳ ὑπάρχοντα, μετὰ νεκρῶν τί ζητεῖται ὡς ἄνθρωπον; βλέπετε τὰ ἐντάφια σπάργανα· δράμετε, καὶ τῷ κόσμῳ κηρύξατε, ὡς ἠγέρθη ὁ Κύριος, θανατώσας τὸν θάνατον· ὅτι ὑπάρχει Θεοῦ Υἱὸς, τοῦ σώζοντος τὸ γένος τῶν ἀνθρώπων.

Εἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ ᾅδου καθεῖλες τὴν δύναμιν· καὶ ἀνέστης ὡς νικητὴς, Χριστὲ ὁ Θεὸς, Γυναιξὶ Μυροφόροις φθεγξάμενος, Χαίρετε, καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος, ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

Ἐν τάφῳ σωματικῶς, ἐν ᾅδου δὲ μετὰ ψυχῆς ὡς Θεὸς, ἐν Παραδείσῳ δὲ μετὰ Λῃστοῦ, καὶ ἐν θρόνῳ ὑπῆρχες Χριστὲ, μετὰ Πατρὸς καὶ Πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος.

*Δόξα.*

Ὡς ζωηφόρος, ὡς Παραδείσου ὡραιότερος, ὄντως καὶ παστάδος πάσης βασιλικῆς, ἀναδέδεικται λαμπρότερος Χριστὲ ὁ τάφος σου, ἡ πηγὴ τῆς ἡμῶν ἀναστάσεως.

*Καὶ νῦν. Θεοτοκίον.*

Τὸ τοῦ Ὑψίστου ἡγιασμένον θεῖον σκήνωμα, χαῖρε· διὰ σοῦ γὰρ δέδοται ἡ χαρὰ Θεοτόκε τοῖς κραυγάζουσιν· Εὐλογημένη σὺ ἐν γυναιξὶν, ὑπάρχεις πανάμωμε Δέσποινα.

Τὸ, Κύριε ἐλέησον, μ'. Δόξα, καὶ νῦν. Τὴν Τιμιωτέραν. Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν. Καὶ πάλιν ὁμοίως τὸ, Χριστὸς ἀνέστη, ἐκ γ'. καὶ τὰ λοιπά· Τρισσεύεται δὲ ἡ τοιαύτη Ἀκολουθία, ἐν ταῖς Ὥραις, καὶ ἐν τοῖς Ἀποδείπνοις, καὶ τῷ Μεσονυκτικῷ.

Ἡ δὲ τῆς Λειτουργίας Ἀκολουθία γίνεται ταχύτερον, καὶ ψάλλομεν τὰ ἐφεξῆς Ἀντίφωνα.

---

## ΑΝΤΙΦΩΝΑ.

Ψαλλόμενα ἐν τῇ Λειτουργίᾳ τῆς τοῦ Πάσχα Κυριακῆς, καὶ καθ' ὅλην τὴν Διακαινήσιμον ἑβδομάδα.

### *ΑΝΤΙΦΩΝΟΝ Α'. Ἦχος β'.*

*Στίχ.* *Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.*
*Στίχ.* *Ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ.*
*Στίχ.* *Εἴπατε τῷ Θεῷ· Ὡς φοβερά.*
*Στίχ.* *Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι.*
*Δόξα, καὶ νῦν.*

(Ταῖς πρεσβείαις τῆς Θεοτόκου.)



Ὁμοῦ οἱ δύο χοροὶ ὑψηλοτέρᾳ φωνῇ.
*Ταῖς πρεσβείαις τῆς Θεοτόκου....*

### *ΑΝΤΙΦΩΝΟΝ Β'. Ἦχος β'.*

*Στίχ.* *Ὁ Θεὸς οἰκτειρῆσαι ἡμᾶς*
*Στίχ.* *Ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ*
*Στίχ.* *Τοῦ Γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου.*
*Στίχ.* *Ἐξομολογησάσθωσάν σοι λαοί.*
*Δόξα, καὶ νῦν. Ἦχος πλ. β'.*

(Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστὰς ἐκ νεκρῶν.)

Ὁμοῦ οἱ δύο Χοροί.
*Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ....*

### *ΑΝΤΙΦΩΝΟΝ Γ'. Ἦχος πλ. α'.*

*Στίχ.* *Ἀναστήτω ὁ Θεὸς, καὶ διασκορπισθήτωσαν.*
*Στίχ.* *Ὡς ἐκλείπει καπνὸς ἐκλειπέτωσαν.*
*Στίχ.* *Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοί.*
*Στίχ.* *Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος.*

(Χριστὸς ἀνέστη ἐκ νεκρῶν.)

*Εἰσοδικόν.*

Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεὸν, Κύριον ἐκ πηγῶν Ἰσραήλ.

Εἶτα τὸ, *Χριστὸς ἀνέστη ἐκ νεκρῶν.* Ἐκ γ'.
Ἡ Ὑπακοὴ, *Προλαβοῦσαι τὸν ὄρθρον.*
Τὸ Κοντάκιον, *Εἰ καὶ ἐν τάφῳ κατῆλθες.*
*Ἀντὶ δὲ τοῦ Τρισαγίου.*

Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Ἀλληλούϊα.

*Καὶ μετὰ ταῦτα τὸν Ἀπόστολον.*

Προκείμενον. Ἦχος πλ. δ'.

Αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

Στίχ. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Πράξεων τῶν ἀποστόλων τὸ ἀνάγνωσμα.
Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων...
Ἀλληλούϊα. Ἦχος δ'.
Σὺ, Κύριε, ἀναστὰς οἰκτειρήσεις τὴν Σιών.
Στίχ. Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ Κύριος.
Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην.

Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν...

Καὶ καθ' ἑξῆς ἡ θεία Λειτουργία τοῦ Χρυσοστόμου.

Κοινωνικόν.

Σῶμα Χριστοῦ μεταλάβετε, πηγῆς ἀθανάτου γεύσασθε.

Ἀντὶ δὲ τοῦ, «Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον.» καὶ τοῦ, «Εὐλογήσω τὸν Κύριον,» λέγεται τό, *Χριστὸς ἀνέστη*.

Ἀπόλυσις.

## Τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Κυριακῇ τοῦ Πάσχα.

Ἑσπέρας εἰς τὸ Λυχνικὸν, ἀλλάσει ὁ Ἱερεὺς πᾶσαν τὴν ἱερατικὴν στολὴν αὐτοῦ, καὶ στὰς κατ' ἐνώπιον τῆς ἁγίας Τραπέζης μετὰ τοῦ θυμιατοῦ, σφραγίζει σταυροειδῶς, καὶ ἐκφωνεῖ λέγων·

*Εὐλογητὸς ὁ Θεὸς ἡμῶν.* Καὶ ἡμῶν ἀνταποκρινομένων τό, *Ἀμήν*, ἄρχεται ὁ Ἱερεύς· *Χριστὸς ἀνέστη*, γ'. καὶ τὰ λοιπὰ ἀπαραλλάκτως, ὡς ἐν τῷ Ὄρθρῳ προεγράφησαν σελ. 4.

Εἰς τὸ *Κύριε ἐκέκραξα*, ἱστῶμεν Στίχ. ς'. καὶ ψάλλομεν Στιχηρὰ Ἀναστάσιμα γ'. καὶ Ἀνατολικὰ γ'. Ἦχος β'.

Τὸν πρὸ αἰώνων ἐκ Πατρὸς γεννηθέντα, τὸν Θεὸν Λόγον σαρκωθέντα, ἐκ Παρθένου Μαρίας, δεῦτε προσκυνήσωμεν. Σταυρὸν γὰρ ὑπομείνας, τῇ ταφῇ παρεδόθη, ὡς αὐτὸς ἠθέλησε· καὶ ἀναστὰς ἐκ νεκρῶν, ἔσωσέ με τὸν πλανώμενον ἄνθρωπον.

Χριστὸς ὁ Σωτὴρ ἡμῶν, τὸ καθ' ἡμῶν χειρόγραφον, προσηλώσας τῷ Σταυρῷ, ἐξήλειψε, καὶ τοῦ θανάτου τὸ κράτος κατήργησε. Προσκυνοῦμεν αὐτοῦ, τὴν τριήμερον ἔγερσιν.

Σὺν Ἀρχαγγέλοις ὑμνήσωμεν, Χριστοῦ τὴν Ἀνάστασιν· αὐτὸς γὰρ Λυτρωτής ἐστι καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν· καὶ ἐν δόξῃ φοβερᾷ, καὶ κραταιᾷ δυνάμει, πάλιν ἔρχεται, κρῖναι κόσμον ὃν ἔπλασεν.

Ἕτερα Στιχηρὰ Ἀνατολικά.

Σὲ τὸν σταυρωθέντα καὶ ταφέντα, Ἄγγελος ἐκήρυξε Δεσπότην, καὶ ἔλεγε ταῖς Γυναιξί· Δεῦτε ἴδετε, ὅπου ἔκειτο ὁ Κύριος· ἀνέστη γὰρ, καθὼς εἶπεν ὡς παντοδύναμος· διό σε προσκυνοῦμεν τὸν μόνον ἀθάνατον· Ζωοδότα Χριστὲ, ἐλέησον ἡμᾶς.

Ἐν τῷ Σταυρῷ σου κατήργησας, τὴν τοῦ ξύλου κατάραν·



ἐν τῇ ταφῇ σου ἐνέκρωσας, τοῦ θανάτου τὸ κράτος· ἐν δὲ τῇ ἐγέρσει σου ἐφώτισας τὸ γένος τῶν ἀνθρώπων· διὰ τοῦτό σοι βοῶμεν. Εὐεργέτα Χριστέ, ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ἠνοίγησάν σοι Κύριε, φόβῳ πύλαι θανάτου, πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔπτηξαν· πύλας γὰρ χαλκᾶς συνέτριψας, καὶ μοχλοὺς σιδηροὺς συνέθλασας, καὶ ἐξήγαγες ἡμᾶς ἐκ σκότους, καὶ σκιᾶς θανάτου, καὶ τοὺς δεσμοὺς ἡμῶν διέῤῥηξας·

*Δόξα.*

Τὸν σωτήριον ὕμνον ᾄδοντες, ἐκ στομάτων ἀναμέλψωμεν· Δεῦτε πάντες ἐν οἴκῳ Κυρίου, προσπέσωμεν λέγοντες· Ὁ ἐπὶ ξύλου σταυρωθεὶς, καὶ ἐκ νεκρῶν ἀναστὰς, καὶ ὢν ἐν κόλποις τοῦ Πατρὸς, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν.

*Καὶ νῦν*, Θεοτοκίον.

Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου, τῆς χάριτος ἐλθούσης· ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω Παρθένος ἔτεκες, καὶ Παρθένος ἔμεινας· ἀντὶ στύλου πυρὸς, δικαιοσύνης ἀνέτειλεν Ἥλιος· ἀντὶ Μωϋσέως, Χριστὸς, ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου· τό, *Φῶς ἱλαρόν*.

Εἶτα ψάλλομεν τὸ παρόν.

Προκείμενον, Ἦχος βαρύς.

Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν; σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια μόνος.

Στίχ. Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου.

Στίχ. Καὶ εἶπα· Νῦν ἠρξάμην· αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου.

Στίχ. Ἐμνήσθην τῶν ἔργων Κυρίου.

Μετὰ δὲ τὸ προκείμενον, ἐκφωνεῖ ὁ Ἱερεύς.

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, κτλ.

Ἐκ τοῦ κατὰ Ἰωάννην.

Οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τῶν Σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων, ὅπου ἦσαν οἱ Μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς, καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν. Καὶ τοῦτο εἰπὼν, ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ.

Ἐχάρησαν οὖν οἱ Μαθηταὶ ἰδόντες τὸν Κύριον. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς πάλιν· Εἰρήνη ὑμῖν· καθὼς ἀπέσταλκέ με ὁ Πατὴρ, κἀγὼ πέμπω ὑμᾶς. Καὶ τοῦτο εἰπὼν, ἐνεφύσησε, καὶ λέγει αὐτοῖς· Λάβετε Πνεῦμα ἅγιον. Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄν τινων κρατεῖται, κεκράτηνται. Θωμᾶς δὲ εἷς ἐκ τῶν Δώδεκα, ὁ λεγόμενος Δίδυμος, οὐκ ἦν μετ' αὐτῶν ὅτε ἦλθεν ὁ Ἰησοῦς. Ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι Μαθηταί· Ἑωράκαμεν τὸν Κύριον. Ὁ δὲ εἶπεν αὐτοῖς· Ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων, καὶ βάλλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω.

---

## ΤΟ ΑΥΤΟ ΕΙΣ ΗΡΩΙΚΟΝ ΕΞΑΜΕΤΡΟΝ.

*Καὶ ὑπὲρ τοῦ . . .*

Ὄφρακε νωϊτέροισιν ἐν οὔασι πάγχυ βάλωμεν,
Θέσφατον, ἱμερόεσσαν, ἁγνὴν, Εὐάγγελον ὄππα,
Μηλίξωμεν Ἄνακτα Θεὸν, μέγαν, οὐρανίωνα.

*Σοφία ὀρθή...*

Ἰθυγενὴς Σοφίη. Εὐαγγελίοιο κλύωμεν.

*Εἰρήνη πᾶσι...*

Εἰρήνη χαρίεσσ' ἐπ' ἀπείρονα δῆμον ἐσεῖται.
Ἐκ δ' ἄρ' Ἰωάννοιο, τὸ δ' ἔστι βροντογόνοιο·
Ἀλλ' ἄγετ' ἀτρεμέσι, χρησμοὺς λεύσωμεν ὀπωπαῖς.

*Οὔσης Ὀψίας...*

Εὖτε δὴ ἠέλιος φαέθων ἐπὶ ἕσπερον ἦλθε,
Καὶ σκιόωντο ἀγυιαὶ, ἐπὶ χθονὶ πουλυβοτείρῃ,
Ἤματι ἐν πρώτῳ, ὅτε τύμβου ἆλτο Σαωτὴρ,
Κληῖσταὶ δὲ ἔσαν θυρίδες πυκινῶς ἀραρυῖαι,
Βλῆντο δὲ πάντες ὀχῆες, εὐσταθέος μεγάροιο,
Ἔνθα μαθηταὶ, ὁμοῦ τε ἀολλέες ἠγερέθοντο.
Μυρόμενοι θανάτῳ ἐπ' ἀεικεῖ Χριστοῦ ἄνακτος,
Καὶ χόλον ἀφραίνοντα Ἰουδαίων τρομέοντες.
Ἤλυθε δὴ τότε Χριστὸς ἄναξ θεοειδεῖ μορφῇ
Ἔστη δ' ἐν μεσσάτῳ ἀναφανδὸν, καὶ φάτο μῦθον·
Εἰρήνη ὑμῖν, φίλη, ἡσυχίη τ' ἐρατεινή.

*Καὶ τοῦτο εἰπών...*

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Ὣς εἰπὼν, ἐπέδειξεν ἑὴν πλευρὴν ἠδὲ χεῖρας.
Γήθησαν δὲ Μαθηταὶ, ἐπεὶ εἶδον Εὐρυμέδοντα.

*Εἶπεν οὖν αὐτοῖς...*

Τοὺς δ' αὖθις προσέειπεν Ἰησοῦς οὐρανοφοίτης.
Εἰρήνη ὑμῖν φίλη, ἡσυχίη τ' ἐρατεινή.
Ὡς ἐμὲ πέμψε Πατὴρ, ὃς ὑπέρτατα δώματα ναίει,
Ὣς δ' ἐγὼ ὑμέας ἐς χθόνα πέμπω εὐρυόδειαν.

*Καὶ τοῦτο εἰπών...*

Ὣς ἄρα φωνήσας, Μύσταις ἔμπνευσ' ἀγορεύων.
Πνεῦμα δέχνυσθ' ἅγιον, φαεσίμβροτον, ὑψιθόωκον.
Ὧν μὲν ἀτασθαλίας θνητῶν ἀφέητ' ἐπὶ γαῖαν,
Τοίσιν ἢ που ἀφίενται ἐπ' οὐρανὸν ἀστερόεντα.
Ὧν δ' ἄρ ἐπεσβολίας ὑπερφιάλων κρατέητε,
Τοῖσιν ἀλυκτοπέδῃς, κεῖναι σθεναρῇς κρατέονται.

*Θωμᾶς δὲ εἷς ἐκ τῶν δώδεκα.*

Θωμᾶς δ' ᾧ ἐπίκλησις ἅπασι Δίδυμος ἀκούειν,
Οὐχ ἅμα τοῖς ἄλλοις Μύσταις πρὶν ὁμώροφος ἔσκε,
Ἰησοῦς ὅτ' ἔβη, εἴσω μελάθροιο ἑταίρων.
Ἤχον οὖν ἄλλοι τούτῳ ἐρίηρες ἑταῖροι·
Εἴδομεν ὀφθαλμοῖσιν Ἰησοῦν Παγκρατέοντα.

*Ὁ δὲ εἶπεν αὐτοῖς..*

Τοὺς δ' ἀπαμειβόμενος Θωμᾶς προσέφησεν ἀτειρής.
Ἴχνια ἣν μὴ ἴδω μετὰ χείρεσιν ἡλοτορήτοις,
Δάκτυλον ἐμβάλω τε ἐκείνου ἔνδοθι χειρὸς,
Χεῖρά τ' ἐμὴν εἴσω πλευρῆς οἱ ῥεῖα βαλοίμην,
Οὔποτε ὑμετέροισι λόγοις κεφαλῇ κατανεύσω.

---

## ΤΟ ΑΥΤΟ ΕΙΣ ΜΕΤΡΟΝ ΙΑΜΒΙΚΟΝ.

*Καὶ ὑπὲρ τοῦ . . .*

Ἐπαξίως κλύωμεν ἁγίου ἔπους
Ἄγωμεν ᾠδὴν ἱκετήριον πάνυ
Ἡμῶν Ἄνακτι, δῶμαθ' ὃς πόλου ἔχει.
Ὀρθὴ σοφίη! ἀγλαῶν ἐφετμέων
Εὐάγγελον νῦν οὔασιν θῶμεν γ' ὄπα.

Πάντεσσι χάρμα

*Ἐκ τοῦ κατὰ . . .*

Ἐκ τῶν Ἰωάννοιο ῥητῶν ἐνθέων
Ἄκουσμα ὄντως τῶν πάνυ ψυχοσσόων.
Σιγήν τε πάντες σχῶμεν ἠδ' ἡσυχίην.

*Οὔσης ὀψίας . . .*

Ἦμος δ' ἄρ' ἔσκεν ὀψίη τῶν Σαββάτων,
Εὖτ' ἂν πυλάων κεῖτ' ὀχεὺς τανυσμένος,
Ἔσαν θ' ἑταῖροι ἔνθα δὴ βεβυσμένοι
Δέει μανίης Ἰσραὴλ θεοκτόνου,
Μέσων ποθεινὸς ἤλυθεν Παγκρατέων·
Τῆμός τε μέσσον ἵστατ' αὐδάων φίλοις.
Θαρσεῖτ' ὁπηδοί! χάρμ' ὑμῖν ἀνασσέτω.

*Καὶ τοῦτο εἰπών . . ,*

Ἦ, καὶ φίλοισι φῆν' Ἄναξ τὰς ἑὰς χέρας,
Πλευρήν τε θείην δεξιήν τ' οὐταμένην.
Τοὶ δ' ὡς ἄνακτα εἶδον ὑψιβρεμέτην,
Ἄφαρ χάρησαν, νόσφι βάλλον τε τρόμον.

*Εἶπεν οὖν αὐτοῖς . . .*

Αὖτις δὲ τοῖσιν εἶπε πανσθενοῦς βίῃ,
Ὁμοφρονεῖτε! ἀσπάσασθ' ἡσυχίην.
Ἀπφύντος ὥσπερ ἶς ἔπεμψέ μ' ἐς χθόνα,
Κἀγὼ φεραυγῶς ὑμμέας ὡς ἔς γ' ἔθνη.

*Καὶ τοῦτο εἰπών . . .*

Ἦ, καὶ ἄημα Πνεύματος Παναγίου
Ἧκεν γ' ἄπο στόματος ἄμβροτον μάλα,
Δέχνυσθε, φήσας, Πνεῦμα θεῖον προφρόνως.
Ὅτου βροτῶν κεν ἀμπλακημάτων μένος
Λύσητε, τοῖσι ταῦτα συγγνώστ' ἄρ' πέλει.
Ὧν αὖτε δ' ἔμπης ἐνδέδενται ἐν γέῃ
Τάων ἀσύγγνωστ' ἐν πόλῳ τε τυγχάνει.

*Θωμᾶς δὲ . . .*

Θωμᾶς δὲ τῶν δε, δίδυμος κεκλημένος
Ἀπῆν, παρόντος Παμμέδοντος ἐν μέσῳ·
Φράζεσκον οἱ ἔπειτα οἱ ἄλλοι φίλοι
Ἄνακτα Χριστὸν λεύσαμεν λαοσσόον.
Ἀτὰρ μετηῦδα τοῖς λίην ὀραρότως,
Εἰ μή με λεύσω τρῆσιν ἥλων δριμέων
Χερσίν, ποσίν τε Δεσπότου τετρημένοις,



Οὐλῆ τε τῶν δε δάκτυλ' αὖ ἐμὰ φέρω,
Αὖθίς τε πλευρὴν χεῖρά γ' ἀκριβουμένην,
Ἥκιστα πίστιν ἐμμέων λόγοις ἔχω.

---

## ΤΟ ΑΥΤΟ ΡΩΣΣΙΣΤΙ.

*Καὶ ὑπὲρ τοῦ Καταξιωθῆναι . . .*

Ἠὸ σποδόμπητησια νὰμ σλήσανια σβιατάγο Εὐάγγελια Γόσποδα Μπόγα μόλημ.

Πρεμούδροστ πρόστη οὐσλίσημ σβιατάγο Εὐάγγελια Μὴρ βσέμ.

Ὢτ Ἰωάννα σβιατάγο Εὐάγγελια στένιε, Βόνμεμ.

*Οὔσης ὀψίας . . .*

1. Σούσσιου πόζδε, βδὲν τόϊ βὸ εδήνου ὢτ σουμπότ, ἠδβέρεμ ζατβορέννημ, ἠδέζε μπέχου οὐτσενητσὴ ἐγὼ σόμπρανη, στράχα ῥάδη Ἰουδέϊσκα, πριήδε Ἰησοῦς, ἠστὰ ποσρεδὲ, ἠγλαγόλα ἦμ μὴρ βάμ.

2. Ἠ σιὲ ῥὲκ, ποκαζὰ ἦμ ῥοῦτσο ἠ νόζε ἠ ῥέμπρα σβόια, βοζράδοβασασια οὔμπω οὐτσενητσὴ, βήδεβσε Γόσποδα.

3. Ῥετσὲ ζὲ ἦμ Ἰησοῦς πάκη μὴρ βὰβ ιάκοζε ποσλὰ μιὰ Ὀτέτς, ἠ Ἄζ ποσηλάιου βὴ, ἠ σιὲ ῥὲκ, δούνου, ἠ γλαγόλα ἦμ· πριημήτε Δοῦχ σβιάτ· ἦμζε ὠτπουστητὲ γρεχὴ, ὠτπούστιατσια ἦμ· ἠ ἦμζε δερζητὲ, δερζάτσια.

4. Θωμᾶ ζὲ εδὴν ὢτ ὀμποιουνάδεσιατε, γλαγόλεμιη μπληζνέτς, νὲ μπὲ τοῦ σνήμη, ἐγδὰ πριήδε Ἰησοῦς· γλαγόλαχου ζὲ ἐμοῦ δρουζίη οὐτσενιτσή· βήδεχομ Γόσποδα.

5. Ὂν ζὲ ῥετσὲ ἦμ· ἄσσιε νὲ βήζιου νὰ ῥουκοῦ ἐγὼ ιάζβη γβοζδήννηα, ἠ βλοζιοῦ πέρστα μοεγῶ βιάζβη γβοζδήννια, ἠ βλοζιοῦ ῥούκου μοϊοῦ βρέμπρα ἐγὼ νὲ ἠμοῦ βέρη.

---

## ΤΟ ΑΥΤΟ ΤΟΥΡΚΙΣΤΙ.

*Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι.*

Νιτζὰ βὲ νιὰζ κηλαλὴμ ῥάππη Ἀλλαχημιζά, χάτια λαῒκ ὀλαλὴμ ἀζίζ Ἰντζιλὴ ὀκουγιοὺπ βὲ ντιγνεμεγέ.

Ἔλμη ντογρουλοὺκ οὐζερέ ἀζίζ Ἰντζιλὴ ἰσιντελήμ.

Σελὰμ τζούμλεγε.

Ἰωάννηστεν γιαζιλὰν ἀζίζ Ἰνζτιλὴν ὀκουμασινά.

Βουκοὺφ ὀλαλήμ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ — ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

*Οὔσης ὀψίας. . . .*

1 Ἑορτὴ γκιουνλερινὴν μπιρηντέ ἀκσὰμ βακτηντὰ βέ σαϊρκλέρ τζέμ ὀλτουκλαρὶ γερὴν καπουλαρὴ Γιαχουτ ηλερὴν κορκουσουντὰν κιλιτλήγικεν, Ἰησοῦς γκελτὴ, βέ ἀραλαρηντὰ ντουρτοῦ, βέ ἀνλερέ ντετὴ· σελὰμ σιζέ.

2. Πουνοῦ ντεντικτέ, ἀνλερέ ἐλλερινὴ βέ πογρουνοῦ γκιοστερντὴ, βέ σαγιρτλέρ ῥάππιγι γκιοροὺπ σεβιντηλέρ.

3. Βέ Ἰησοῦς τέκραρ ἀνλερέ ντεντὴ, σελὰμ σιζέ, Πατερὴμ πενὶ ἠρσὰλ ἐττιγὴ κιπὴ, μπὲν ταχὶ σιζλερὴ ἰρσὰλ ἐδέριμ.

4. Μπουνοὺ ντεντηκτὲ, ἀνλερὲ οὐφλεγὲπ δεδὴ, ἀζίζ ῥουχοῦ πὰπζ ἔτην. Κιμὲ κι κιουναχλαρηνὴ παγισλάρσανηζ, παγισλανμὴς ὀλαλάρ· βέ κιμέ κι ἀληκόρσανιζ, ἀληκομοὺς ὀλαλάρ.

5. Βέ ὄν ἰκιλερτὲν πιρὴ ἐκὶζ τενηλὲν Θωμᾶς Ἰησοῦς γκελτηγὴ ζεμὰν ἀνλέριλεν πιλέ τεγίλιτη, ὁ πὶρ σαγιτλέρ τετιλέρ, Ῥάππιγη γκιορτούκ.

6. Ἔμμα ὅ ἀνλερέ ντεντίκι, μπέν ἐλλερηντέ ἐκσερηλερὶν νησανινὴ, γκιορμέζησαμ, βέ παρμαγιμὴ ἐκσερλερὴν νησανινὰ, βέ ἐλημὴ πογροὺν σοκμάκησαμ, ἰναναρλατὰν τεΐλημ.

---

## ΤΟ ΑΥΤΟ ΑΛΒΑΝΙΣΤΙ.

*Οὔσης ὀψίας . . .*

1. Ἐσὶ οὐ ἐῤῥατὲ δίτε τεπάρεν ἐγιάβασε, κοὺρ κένε διέρτε πίλνουρε, τεκ κένε μπεγέδουρε, μαθητέϊγτε γκὰ φρίκα ἐ Τζιφούτετε, ἔρδη Ἰησοῦϊ, ἐ ντένι ντὲ μὲς τε τοῦρε ἐ οὐ θὸτ ἀτοῦρε· Παΐκ μπὲ γιούβετ.

2. Ἐσὶ θὰ κετὲ, οὐ δεφτόϊ ἀτοῦρε δούαρτε ἐϋὲ πρίνιεν ἐτιγ· ἐ οὐ τεζούωνε μαθητέϊγτε σὶ πάνε ζόντε. Οὐ θότε δὰ περσερὶ ἀτοῦρε Ἰησοῦϊ. Παΐκ μπὲ γιούβετ· σὶ κούντρ· μὲ δεργόϊ μούα παπάϊ ε, δὲ οὺν δεργοΐγ γιούβετ.

3. Ἐσὶ θὰ κετὸ, φρίγτι μπὲ, τὰ, ἐ οὐθὸτ ἀτοῦρε· μέρρι Σπὶρτ Σένγτ. Κούιγτ τὶ ντὲ γένι φάγετε, ἰγιάνε ντεγιέρε, ἐ κούιγτ τὲ γιὰ πάϊ ι γιάνε πάϊγτουρε.

4. Ἐ Θωμάϊ νιὲ γκὰ τε διμπεδγιέτε, κὲ κοιούχα ἐΐγ δίδυμο, νοὺ κ ἰσμὲ ἀτὰ πάσκε κοὺρ ἔρδι Ἰησοῦϊ ἐὶ θόσνε ἀτὶγ τὲ, τε γιέρετε μαθητί, παμ Ζόντε, μα ἀὶ αὐθὰ ἀτοῦρε.

5. Τὲ α μὸς πάτζια ντὲ δούαρρ τὲ τὶγ πλιάγεν ἐπορόναβετ, ἐ τὲ βὲ, Γίστινε τὶμ ντὲ βεν ντε πεστόναβετ, ἐ τὲ βὲ δόῤῥεντε τίμε ντὲ πρίνιε τετὶγ, νούκε πεσόϊγ.

---



## ΤΟ ΑΥΤΟ ΛΑΤΙΝΙΣΤΙ.

*Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι. . . .*

Σουπλιτσιέμους ντόμινουμ ντέουμ νόστρουμ,
Οὔτ ντίνιους φατσιὰ νὸς ἄου τίρε Σάνκτουμ Εὐαγγέλιουμ.
Σαπιάντσια ῥέκτα· ἀουντιάμους Σάνκτουμ Εὐαγγέλιουμ.

Πὰξ ὄμνιμπους.

Λέκτσιο Σάνκτε Εὐαγγέλει, συκούντουμ Γιοβάνε. Ἀντέντιμους.

Οὔσης ὀψίας . . . .

1 Κβοὺμ ἔργκο, σέῤῥο, ἔσετ ντίε ἴλο, οὔνο Σαμπατόρουμ ἔτ φόρες ὅσεντ κλάουζε, οὔμπι, ἔραντ Ντιχίπολοι κονγκρεγκάτοι, πρόπτερ μέτουμ Γιουντεόρουμ, βένιτ Γιέζους ἔτ στέτιτ ἣν μέντιο ἔτ ντίξιτ ἔϊς. Πὰξ βόμπις.

2 Ἐτ κβοὺμ ντιξίσετ ὀστέντιτ εἰς μάνους, ἔτ λάτους γκαβίζη σούντ ἔργκο ντιχίπολοι, βιζο Ντόμινο· Ντίξιτ ἔϊς ἔργκο ἴντερουμ, Πὰξ βόμ· σίκου μίζιτ μὲ Πάτερ, ἐτέγκο μίτο βός.

3 Ἔτ κβοὺμ ντιξίσετ ἰν σουβλάβιτ, ἔτ ντίξιτ ἔϊς ἀκσίπιτε, Σπύριτου Σάνκτουμ, κβυόρουμ ῥιμιζέριτης πεκάτα ῥεμιτούνταρ ἔϊς ἔτ κβυόρουμ ῥετινουερίτης, πεκάτα ῥετέντα σούντ.

4 Τόμας ἄουτεμ, οὔνους ἔξ ντουόντεσιμ, κβὶ ντίγικατουρ, Ντιντιμους, νὸν ἐραντκβοὺμ ἔϊς, κουάντο βένιτ Γιέζους! Ντιξέρουντ ἔργκο ἔϊ ἄλιϊ Ντιχίπολι, βίντιμους Ντόμινουμ.

5 Ἴλε ἄουτεμ, ντίξιτ ἔϊς, νίκι βίντερο ἴν μάνιμπους ἔηγους φιξούραμ κλαβόρουμ, ἔτι μίταμ, ντίγκιτουμ μέουμ, ἴν λόγκουμ, κλαβόρουμ, ἔν μίταμ, μάνουμ μέαμ ἴν λάτους, ἔηους νὸν κρέταμ.

---

## ΤΟ ΑΥΤΟ ΙΤΑΛΙΣΤΙ.

*Καὶ ὑπέρ τοῦ καταξιωθῆναι.*

Πρεγκιάμο ἴλ Σινιὸρ νόστρο Ντίο ἀφινκὲ τσὶ φάκκια Ντένι ντ' ἀσκολτάρε ἴλ Σάντα Εὐαγγέλο.

Σαπιέτσα ῥέτα Τεντιάμο, ἴλ Σάντο Εὐαγγέλο.

(Πάτσε Σία κὸν τούτι.)

Λετσιόνε ντὲλ Σάντο Εὐαγγέλο σεκὸν Γκιοβάνι. Ἀτενντιάμο.

*Οὔσης ὀψίας . . .*

1. Ἐσέντο σέρα ἴν κουὲλ γγιόρνο, ντὶ Ξάμπατο ἐ ἐσέντο, λὲ πόρτε σεράτε ντάβε ἔρανο ἱ Ντιχιέπολι κονγκρεγαγάτι ἰνσίεμε πὲρ παοῦρα ντέϊ Γιουντέσι, βένε Γκεζοὺ ἐστέτε ἣν μέτζο ντ[illegible]ρο, ἐ ντίσε· πάτσε σία κὸν βόϊ.

2. Ἐ κόμε ἔμπε ντέτο κουέστο, μοστρὸ λόρο λὲ μάνι, ἐ ἴλ κο-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

στάτο, ἒ οἱ Ντιχιέπολοι σὶ ῥελεφφάρονο, ἀββέντο βενδοῦτο, ἴλ Σινιόρε. Ἔ Γκιεζοῦ ντίσε ντὶ νουόβο λόρο, λὰ πάτσε σία κὸν βοΐ κόμε ἴλ μίο Πάνδρε ἄ μαννττάτο μὲ, κοσὶ ἴο μάντο βοΐ.

3. Ἔ ντέτο κουέστο Σοφιὸ ἴν λόρο ἒ ντίσε, ῥιτσεβέτε λο σπύριτο Σάντο, ἅ κουέλι κκὲ βοΐ ῥιμετερέτε ἴ πεκάτι σαράνο λόρο ῥεμέσι ἒ ἀ κουέλι ἄϊ κουάλι λι ῥιτινερέτε, σαράνο ῥιτενούτι.

4. Ἔ Τομάζο οὖν ντὲ ντόντιτσι Ντιχιέπολι, κκὲ ἐ ντέτο τίννττιμο νὸν ἔρα κὸν λόρο κουάντο βένε Γκιεζοῦ, ἀντούνκουε λὶ ἄλτρι Ντιχιέπολι λὶ ντίσερο νοΐ ἀμπιάμο βενδοῦτο ἴλ Σινιόρε.

5. Ἔ ἐλόϊ ντίσε λόρο, σὲ ἴο νὸν ἀβρὸ βενδοῦτο νέλε, σοῦε μάνι λὲ φισοῦρε Ντέϊ, κκιόνδι, ἐ νὸν ἀβρὸ μέσο ἴλ ντίδο μίο νὲκ λούογκο Ντέϊ, κκιόνδι, ἐ λα μία μάνο, νὲλ σοῦο κοστάτο, ἴο νὸν Κρενδερό.

## ΤΟ ΑΥΤΟ ΓΑΛΛΙΣΤΙ.

*Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι.*

Πριὸν πούρ κὲ νοὺ σουαγιὸν δίγν ἀντὰνδρ λοὺ σαὶντ Εὐανζὶλ. Σαζὲς δροάτ. Ἐκουτὸν λοὺ σὲντ Εὐανζὶλ.

Λὰ πὲ ἀ τούς.

Σουαγιὸν ἀταντὶφ ἀ λὰ λεσὸν τιρὲν τοὺ σαὶντ Εὐανζὶλ ντὲ σὲν Ζάνν. Ἀταντόν.

*Οὔσης ὀψίας. . .*

1 Σοὺρ λοὸ σουὰρ ντοὺ μὲμ ζοὺρ, κὶ ἐτὲ λοὺ πρεμιὲ δοὺ λὰ σ'μὲν, λὲ πὸρτ δοὺ λιὲ οὺ λὲ δισσίπλέτὲτ ἀσσαμπλὲ δὰν λὰ κρὲντ δὲ Ζουΐφ ἐτὰν φερμὲ, Γεζοὺ βὲν, παροὺ ὁμιλιὲ, ντὲ ἐλὲρ δὶ, λὰ πὲ σουὰτ ἀβὲκ βού.

2 Ἐ ἀπρὲ σὲ παρὸλ ἰλ λέρ μοντρὰ σὲ μὲν ἒ σὸν κατέ· ἀ λὰ βοὺ ντοὺ Σενιέρ λὲ δισσὶπλ φοὺρ ῥαμπλὶ δ' οὖν γρὰδ ζουά.

3 Ἰλ λέρ δὶτ ἀνκὸρ οὺν φουὰ, λὰ πὲ σουὰτ ἀβὲκ βού. κὸμ μὸν πὲρ μ' ἀ ἀμβουαγὲ, ἐνσὶ γιέ βοὺζ ἀμβουὰ μουὰ μέμ· ἀσὲ μὸ ἰλ σουφφλὰ σοὺρ ἒ, ἐ λὲρ ντὶ, ῥεσεβὲ λὲ πὲν τ ἐσπρί, λὲ πεσὲ σερὸν ῥεμὶζ ἀ σὲς ἀ κὶ βοὺ λὲ ῥεμετρὲ, ἐ ἰλ σερὸν ῥετενοὺ ἀ σές, ἀ κὶ βοὺ λέ ῥετιενδρέ.

4 Ὀρ Θωμᾶς λ' οὖν ντέ ντοὺζ ἀπελλέ Ντιντὺμ' ν' ἐτέ πὰζ ἀβὲκ ἒ λὸρσκ Γεζοῦ βιὲν, λέζ ὄτρ Δισσὶπλ λουΐ δὶρ, νοὺζ ἀβὸν βοὺ λοὺ Σενιέρ.

5 Μὲζ ἰλ λέρ ῥεποντὶ, σὶ γέ νοὺ βουὰ λὰ μὰρκ ντέ κλοὺ ντὰν σὲ μὲν, ἐ σὶ ζοὺ νὲ μέ μὸν δουὰ ντὰν λὲ τροὺ ντέ κλού, ἐμὰ μέν ντὰν λὰ πλὲ ντοὺ σὸν κοτέρ γέ νοὺ κρουαρέ πουάν.

Ἐν τῷ ἐνταῦθα Βιβλιοπωλείῳ Ζωσιμᾶ Ἐσφιγμενίτου, εὑρίσκονται τὰ ἑξῆς θρησκευτικὰ βιβλία.

ά. Ἀμφιλόχια, Φωτίου Π. Κωνσταντινουπόλεως ἐκδ. ὑπὸ Σοφοκλέους Κ. τοῦ ἐξ οἰκονομου ἐν Ἀθήναις 1844.

β'. Ἀληθὴς βίος Ἰησοῦ Χριστοῦ ἐκ τῶν καθαρῶν πηγῶν τῆς γραφῆς ὑπὸ Δ. Γ. Κομποθέκρα, ἐκδ. ἐν Ἀθήναις 1866 σελ. 123.

γ'. Γυμνάσματα Πνευματικὰ ὑπὸ Ν. Ἁγιωρείτου ἐκδ. ἐν Βενετίᾳ 180.

δ'. Διαθήκη Παλαιὰ καὶ Καινή, ἐκδ. Μόσχας 1821.

έ. Διαθήκη Παλαιὰ κατὰ τας Ο'. τομ. 4 Ἀθήν. 1843

ζ'. Διαθήκη Παλαιὰ τομ. 3 ἐν Βενετίᾳ 1822.

ή. Ἐπιστολαὶ Παύλου τοῦ Ἀποστόλου ἑρμηνευθεῖσαι μὲν ὑπὸ Θεοφυλάκτου τοῦ Βουλγάρεως μεταφρασθεῖσαι δὲ ὑπὸ Νικοδήμου Ἁγιορείτου τομ. 3 ἔκδοσις Βενετίας 1819.

θ'. Επιτομὴ ἐκ τῶν ψαλμῶν τοῦ Δαυὶδ περιεχοῦσας κατανυκτικὰς θρησκευτικὰς εὐχᾶς παρὰ τοῦ Αὐγουστίνου Ἐπισκ. Ἱππῶνος ἐκδ. 1863 ἐν Κων/πόλει.

Ι'. Ἐπίτομος Ἐκκλ. Ἱστορία ὑπὸ Ἀλεξ. Λασκάρεως εἰς τομ. 2 ἔκδ. 1863 ἐν Σμύρνῃ.

ιά. Ἑρμηνία τῶν ζωγράφων και τῆς ἐκκλ. ζωγραφίας συγγραφεῖσα ἐν Ἄθωνι τῷ 1458 ὑπὸ Διονυσίου Ἱερομονάχου, ἔκδ. ἐν Ἀθήναις 1884.

ιβ'. Ἑρμ. τῶν τεσσάρων Εὐαγγελ. ὑπὸ Θεοφυλάκτου Βουλγάρεως ἔκδ. 1542 ἐν Ῥώμῃ.

ιγ'. Θρησκευτικαὶ Μελέται ἤτοι ὁμιλίαι περὶ πάσης σχεδὸν περιστάσεως τοῦ ἀνθρωπίνους βίου ὑπὸ Δημ. Στ. Μαυροκορδάτου τομ. 5 ἔκδ. 1865 ἐν Ἀθήναις.

ιδ'. Ἱεροσαλιμὰς ἤτοι ἐπίτιμος ἱστορία τῆς Ἱεροσαλὴμ ὑπὸ Γρηγορίου Ἱεροδιακόνου τοῦ Παλαμᾶ ἔκδ. ἐν Ἱεροσολίμοις 1862.

ιέ. Ιερὸν Λιμοκαθαρτήριον ὑπὸ Χριστοφόρου Λαυριώτου ἔκδ. ἐν Ἀθήναις 1869.

ις'. Ἱστορία Φιλολογικὴ ὑπὸ Κ. Κοντογόνη τόμοι δύω ἔκδ. ἐν Ἀθήναις 1851.

ιζ'. Ἱστορία τῆς Ἐκκλησίας τομ. ά. ὑπὸ Κ. Κοντογόνη ἔκδ. ἐν Ἀθήναις 1876.

ιή. Ἱστορία τῆς Ἐκκλησίας ὑπὸ Διομίδους Κυριακοῦ τόμ. δύω ἔκδ. 1881 ἐν Ἀθήναις.